www.tezaurliturgic.ro

†

# Ἀκολουθία τοῦ ἐν Γολγοθᾷ δικαίου καὶ εὐγνώμονος λῃστοῦ

(ἑορταζομένου τῇ 12ῃ Ὀκτωβρίου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βιδ΄ * 2014 *

# Τῇ ΙΒ΄ Τοῦ Μηνὸς Ὀκτωβρίου
# ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΓΟΛΓΟΘΑ ΔΙΚΑΙΟΥ ΚΑΙ ΕΥΓΝΩΜΟΝΟΣ ΛΗΣΤΟΥ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος. α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἔστιν ἀρίστη λῃστεία, καὶ θεοβράβευτος,
ἄνευ ῥοῆς αἱμάτων, καὶ φονίου μαχαίρας,
ἀλλὰ τῆς διανοίας τῇ συντριβῇ,
παραδόξως συμβαίνουσα,
καὶ μόνον φθέγματος ῥήσει τῶν οὐρανῶν,
Βασιλείαν κυριεύουσα.

Ἀνεξιχνίαστοι ὄντως! τῆς σωτηρίας ὁδοί,
καὶ μετανοίας τρόποι,
δι᾽ ὧν σῴζεται κόσμος.
Ὁ πλάσας γὰρ ἀνθρώπους Δημιουργός,
πρὸς ἰδίαν ὁμοίωσιν,
ἑνὶ ἑκάστῳ προσφέρει τὰς ἀφορμάς,
ὡς Πατὴρ Ἀσώτῳ πώποτε.

Δικαιοσύνης εὑρέθη,
ζυγὸς Σταυρὸς τῷ Λῃστῇ,
ἐν τόπῳ τοῦ Κρανίου,
παρασχὼν σωτηρίαν,
βοήσαντι ἐκ βάθους,
ψυχῆς τῷ Χριστῷ,
Μνήσθητί μου Φιλάνθρωπε,
βεβαιωθέντι δ᾽ ἀμέσως τὴν μετ᾽ Αὐτοῦ,
Βασιλείας συγκατοίκησιν.

Ὡς ἐφαλτήριον εὗρε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸν σὸν Σταυρὸν ὁ Ληστής,
εἰπών σοι· Μνήσθητί μου, ἐν τῇ σῇ Βασιλείᾳ,
Φιλάνθρωπε Σωτήρ μου,
ὅθεν εὐθύς,
ἔφης· Σήμερον ἤνοικνται,
τοῦ Παραδείσου αἱ πύλαι
σπεῦδε ἐλθέ, μετ' ἐμοῦ ἀμέσως εἴσελθε.

Ἐν τῷ σταυρῷ Βασιλέα, σὲ ἀνεκήρυξεν,
Ληστὴς Σῶτερ εὐγνώμων,
καὶ ὡς κλεῖδα τῇ γλώττῃ,
βαλὼν τὴν κεκλεισμένην πύλην Ἐδέμ,
παραδόξως ἠνέωξεν,
ληστὴς καὶ αὖθις πρὸ τέλους ἀναδειχθείς,
σωτηρίαν κληρωσάμενος.

Ὑπὲρ ἡμῶν ἐκδυσώπει,
Ληστὰ θεόσοφε,
τοῖς λόγοις πιστευόντων,
τὸν Χριστὸν ὡς Δεσπότην,
τοῖς δ' ἔργοις ἀρνουμένων τὰς ἐντολάς,
καὶ βιούντων ὡς ἄθεοι,
ὅπως ἐν ὥρᾳ ἐσχάτῃ ὡς ἀγαθός,
δῷ μετάνοιαν σωτήριον.

Δόξα. Ἦχος πλ.β'.

Τῆς ἀπερινοήτου φιλανθρωπίας σου τὸ μέγεθος ἐπιδειξάμενος, ἐν Γολγοθᾷ Δέσποτα Χριστέ, τὸν αὐτοσχέδιον θεολόγον καὶ δίκαιον Ληστήν, ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς πρῶτον πάντων εἰσήγαγες, ἐκ φάρυγγος τοῦ ἀνθρωπολέθρου διαβόλου, τοῦτον ἐξαρπάσας αἰφνιδίως. Ὅθεν καὶ ἡμεῖς οἱ ἁμρτωλοί, τῇ πατρικῇ σου συμπαθείᾳ πεποιθότες, τὴν σωτήριον φωνὴν αὐτοῦ ἱκετικῶς σοι ἀνακράζομεν· Μνήσθητι καὶ ἡμῶν ἐσταυρωμένε Κύριε, ἐν τῇ ἐπουρανίῳ Βασιλείᾳ σου, κατὰ τὸ πλῆθος τοῦ ἀνεξιχνιάστου ἐλέους σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

## Τὰ Ἀναγνώσματα

## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα
(46, 3-13)

Τάδε λέγει Κύριος Σαβαώθ· Ἀκούσατέ μου, οἶκος τοῦ Ἰακὼβ καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσραήλ, οἱ αἰρόμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἐκ παιδίου·ἕως γήρους, ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι. Ἐγὼ ἀνέχομαι ὑμῶν, ἐγὼ ἐποίησα καὶ ἐγὼ ἀνήσω, ἐγὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς. Τίνι με ὡμοιώσατε; ἴδετε τεχνάσασθε, οἱ πλανώμενοι. Οἱ συμβαλλόμενοι χρυσίον ἐκ μαρσιππίου καὶ ἀργύριον ἐν ζυγῷ στήσουσιν ἐν σταθμῷ καὶ μισθωσάμενοι χρυσοχόον ἐποίησαν χειροποίητα καὶ κύψαντες προσκυνοῦσιν αὐτοῖς. Αἴρουσιν αὐτὸ ἐπὶ τῶν ὤμων, καὶ πορεύονται· ἐὰν δὲ θῶσιν αὐτό, ἐπὶ τοῦ τόπου αὐτοῦ μένει, οὐ μὴ κινηθῇ. Καὶ ὃς ἂν βοήσῃ πρὸς αὐτόν, οὐ μὴ εἰσακούσῃ, ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν. Μνήσθητε ταῦτα καὶ στενάξατε, μετανοήσατε, οἱ πεπλανημένοι, ἐπιστρέψατε τῇ καρδίᾳ. Καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ αὐτὰ γενέσθαι, καὶ ἅμα συνετελέσθη. Καὶ εἶπα· πᾶσά μου ἡ βουλὴ στήσεται, καὶ πάντα, ὅσα βεβούλευμαι, ποιήσω.·Καλῶν ἀπ᾽ ἀνατολῶν πετεινὸν καὶ ἀπὸ γῆς πόρρωθεν περὶ ὧν βεβούλευμαι, ἐλάλησα καὶ ἤγαγον, ἔκτισα καὶ ἐποίησα, ἤγαγον αὐτὸν καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. Ἀκούσατέ μου, οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς δικαιοσύνης. Ἤγγισα τὴν δικαιοσύνην μου


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τὴν σωτηρίαν τὴν παρ᾽ ἐμοῦ, οὐ βραδυνῶ. Δέδωκα ἐν Σιὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς δόξασμα.

## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα
## (49,7-14)

Οὕτως λέγει Κύριος ὁ ῥυσάμενός σε, ὁ Θεὸς Ἰσραήλ. Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν, τῶν δούλων τῶν ἀρχόντων. Βασιλεῖς ὄψονται αὐτὸν καὶ ἀναστήσονται, ἄρχοντες καὶ προσκυνήσουσιν αὐτῷ ἕνεκεν Κυρίου. Ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραὴλ καὶ ἐξελεξάμην σε. Οὕτως λέγει Κύριος· καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν καὶ κληρονομῆσαι κληρονομίαν ἐρήμου, λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλυφθῆναι. Καὶ ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν. Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς καύσων, οὐδὲ ὁ ἥλιος, ἀλλὰ ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. Καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Ἰδοὺ οὗτοι πόρρωθεν ἔρχονται, οὗτοι ἀπὸ βορρᾶ καὶ οὗτοι ἀπὸ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. Εὐφραίνεσθε, οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην καὶ οἱ βουνοὶ δικαιοσύνην, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν.

## Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα
## (34,11-31)

Τάδε λέγει Κύριος˙ Ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου καὶ ἐπισκέψομαι αὐτά. Ὥσπερ ζητεῖ ὁ ποιμὴν τὸ ποίμνιον αὐτοῦ ἐν ἡμέρᾳ, ὅταν ᾖ γνόφος καὶ νεφέλη ἐν μέσῳ προβάτων διακεχωρισμένων, οὕτως ἐκζητήσω τὰ πρόβατά μου καὶ ἀπελάσω αὐτὰ ἀπὸ παντὸς τόπου, οὗ διεσπάρησαν ἐκεῖ ἐν ἡμέρᾳ νεφέλης καὶ γνόφου. Καὶ ἐξάξω αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ συνάξω αὐτοὺς ἀπὸ τῶν χωρῶν καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν καὶ βοσκήσω αὐτοὺς ἐπὶ τὰ ὄρη Ἰσραὴλ καὶ ἐν ταῖς φάραγξιν καὶ ἐν πάσῃ κατοικίᾳ τῆς γῆς· ἐν νομῇ ἀγαθῇ βοσκήσω αὐτούς, καὶ ἐν τῷ ὄρει τῷ ὑψηλῷ Ἰσραὴλ ἔσονται αἱ μάνδραι αὐτῶν.

Ἐκεῖ κοιμηθήσονται καὶ ἐκεῖ ἀναπαύσονται ἐν τρυφῇ ἀγαθῇ καὶ ἐν νομῇ πίονι βοσκηθήσονται ἐπὶ τῶν ὀρέων Ἰσραήλ. Ἐγὼ βοσκήσω τὰ πρόβατά μου καὶ ἐγὼ ἀναπαύσω αὐτά, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος, λέγει Κύριος Κύριος. Τὸ ἀπολωλὸς ζητήσω καὶ τὸ πλανώμενον ἐπιστρέψω καὶ τὸ συντετριμμένον καταδήσω καὶ τὸ ἐκλεῖπον ἐνισχύσω καὶ τὸ ἰσχυρὸν φυλάξω καὶ βοσκήσω αὐτὰ μετὰ κρίματος.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α'

Τῆς παγκοσμίου σωτηρίας ἐν Γολγοθᾷ ὑπογραφείσης, τοῖς αἱμάσσουσι δακτύλοις τοῦ Θεανθρώπου Ἰησοῦ, πρῶτος ταύτης μετέσχεν ὁ δίκαιος Ληστής, τὸ Μνήσθητί μου Κύριε βοήσας ἐκ βαθέων, καὶ εὐθὺς βεβαιωθείς, τὴν τοῦ Παραδείσου αὐθήμερον κληρονομίαν. Ἧς καὶ ἡμᾶς ἀξιώσαις φιλάνθρωπε Λυτρωτά, διὰ τὸ πλῆθος τοῦ ἀμέτρου ἐλέους σου.

Ἦχος β'

Μέσον δύο ληστῶν ὁ Χριστός, ἡ Ζωὴ ἡμῶν ἐν τῷ Σταυρῷ ἐκρέματο, καὶ τῷ μὲν ἀναιδῶς βλασφημοῦντι θεοπρεπῶς ἐσιώπα, τῷ δὲ πιστεύσαντι καὶ θεολογήσαντι φιλανθρώπως ἐβόα·βεβαιῶν· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ, ὅθεν τὸ πάλαι ἐξώσθη ὁ προπάτωρ Ἀδάμ, τύπος αἰώνιος γενόμενος τοῖς εἰλικρινῶς μετανοοῦσι, καὶ αἰτουμένοις τὴν συγχώρησιν.

Ἦχος γ'

Μυστήριον παράδοξον ἐν Γολγοθᾷ συνετελέσθη, τοῦ Θεανθρώπου Ἰησοῦ ἑκουσίως τῷ Σταυρῷ κρεμασθέντος, καὶ τὸν κεκλεισμένον Παράδεισον τῷ ἀνθρωπίνῳ γένει διανοίξαντος, τὸν δὲ εὐγνώμονα Ληστήν, ταπεινῶς ἐκβοήσαντα τὸ Μνήσθητί μου, πρῶτον οἰκιστὴν τούτου ἀναδείξαντος. Ὢ! τοῦ ἀκαταλήπτου θαύματος! ὁ πρὶν αὐθάδης



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ ἀναίσχυντος, ὁ χθὲς διώκτης καὶ φονεύς, εὐθὺς ἀπήλαυσε τῆς Βασιλείας, ἣν Φιλάνθρωπε Κύριε, δώρησαι τοῖς ἐκ ψυχῆς εἰλικρινῶς μετανοοῦσί σοι.

Ἦχος δ'

Ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἡ ἀχειροποίητος καὶ ἀκαταπόντιστος ναῦς, πάντα ἐπιβάτην ἀμίσθως δέχεται, δίχα μέντοι γε τοῦ ἁμαρτάνοντος ἀμετανοήτως. Γνοῦσα γὰρ ταπεινούμενον σωφρόνως λῃστήν, τὴν ἁμαρτίαν μισήσαντα ὁλοψύχως, τοῦτον φιλανθρώπως παραλαμβάνει, καὶ πρὸς τὴν ἀρχαίαν πατρίδα καὶ ἄκλυστον λιμένα, τὸν ποθητὸν Παράδεισον, μητρικῶς ὁδηγεῖ. Οὗπερ καὶ ἡμᾶς καταξιώσαι, ὁ τούτου ἐπουράνιος κατασκευαστής, ὡς μόνος Πολυεέλεος.

Δόξα. Ἦχος πλ.α'

Τό, Μνήσθητί μου Κύριε, ὡς κλεῖδα βαλών, διὰ σοφῆς πειρατείας ὁ Δίκαιος Ληστής, τὴν κεκλεισμένην πύλην τοῦ Παραδείσου ἤνοιξεν, ἔνθα παραδόξως τῷ ἐσταυρωμένῳ Δεσπότῃ πρῶτος ἠκολούθησε, τὴν σωτηρίαν βεβαιῶν, τοῖς εἰλικρινῶς μετανοοῦσι. Τούτου πρεσβείαις Φιλάνθρωπε Ἰησοῦ, καὶ ἡμᾶς μετόχους ἀνάδειξον τῆς Βασιλείας σου, τῷ θείῳ ἐλέει σου συγχωρῶν, ὅσα ἐν βίῳ ἀνοήτως σοι οἱ τάλανες ἁμαρτάνομεν.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν ἀῤῥαγῆ προστασίαν,
καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ σεσῳσμένος Λῃστής,
ὁ τὸν Παράδεισον συλήσας τῷ λόγῳ σου,
εἰπὼν γὰρ τό, Μνήσθητί μου,
τῷ Ἰησοῦ ἐν Σταυρῷ,
ἤκουσας· Σοὶ λέγω ἤδη σήμερον,
πολίτην ποιήσω σε,
τῆς Ἐδὲμ ἧς ἐξέπεσεν,
Ἀδὰμ τὸ πάλαι,
καὶ ῥομφαία ἡ πύρινος, ταύτην ἔκλεισε,
σὺ σοφῶς δὲ ἐλῄστευσας.
Ὅθεν νῦν εὐφραινόμενος,
μνημόνευε Ἅγιε,
τοὺς ἐκ ψυχῆς ἐκβοῶντας,
Θεῷ τό, Μνήσθητι Κύριε,
καὶ δεῖξον ἀξίους,
τῆς χαρᾶς τοῦ Παραδείσου,
ταῖς ἱκεσίαις σου.

Στίχ. *Ἠγάπησας, Δέσποτα, δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.*

Σῴζεις, ἁμαρτωλοὺς καὶ λῃστάς,
πόρνας τελώνας καὶ φονεῖς Πολυέλεε,
πρὸς τοῦτο γὰρ φιλανθρώπως,
σάρκα ἡμῶν παθητήν,
καταβὰς ὑψόθεν, περιβέβλησαι,
καὶ πάθη ὑπέμεινας,
τὰ φρικτὰ καὶ σωτήρια,
ἐπὶ τοῦ ξύλου,
κρεμασθεὶς ὡς κατάδικος,
ἔνθα πρόβατον, πρὸς σὴν μάνδραν εἰσήγαγες,
πρῶτον Λῃστὴν εὐγνώμονα,

ἐκ βάθους βοήσαντα·
ὡς Βασιλεὺς τῶν ἁπάντων,
κἀμοῦ Φιλάνθρωπε μνήσθητι,
πληθὺν τῶν πταισμάτων,
αἵματί σου τῷ ἁγίῳ,
πλύνων ὡς εὔσπλαγχνος.

Στίχ. *Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου.*

Χαίρει, ἅπαν τὸ γένος βροτῶν,
Λῃστοῦ δικαίου καθορῶν τὴν μετάνοιαν.
Αὐτὸς ἐν τῷ Παραδείσῳ,
σὺν σοὶ Χριστὲ εἰσελθών,
πρῶτος τῶν Ἁγίων ἑνὶ ῥήματι,
διδάσκαλος πέφυκε,
τῶν πταιόντων αἰώνιος,
καὶ προσπιπτόντων,
τῷ δακτύλοις σου γράψαντι,
πᾶσιν ἄφεσιν,
τῇ ἐκβλύσει τοῦ αἵματος.
Ὅθεν ἡμῖν Φιλάνθρωπε,
μετάνοιαν χάρισαι,
ὡς τῷ Λῃστῇ ἐκβοῶσιν,
ἀπὸ ψυχῆς· Σῶτερ μνήσθητι,
καὶ κλῆρον παράσχου,
εὐφροσύνης Παραδείσου,
οἷς τρόποις ἔγνωκας.

Δόξα. Ἦχος δ'.

Οὐ χρῄζει πολυλογίας ὁ Πολυέλεος Θεός,
ὁ καὶ ἑνὶ στεναγμῷ μετανοίας νοερῶς ἐκφερομένῳ μόνον ἀρκούμενος. Καθώσπερ ὁ Λῃστὴς σταυρωθεὶς, ἐν τῇ αὐτοῦ ἐσχάτῃ θλίψει, εἰπών τὸ Μνήσθητί μου, ἀπρὶξ εἰσηκούσθη, καὶ ἀντὶ καταδίκης τὸν Παράδεισον,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἅμα τῷ Δεσπότῃ πρῶτος πάντων τῶν Ἁγίων ᾤκησε, πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν τὴν σωτήριον φωνὴν αὐτοῦ συνεκβοώντων, ἐκτενῶς πρὸς τὸν Φιλάνθρωπον.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον.
Ἦχος γ'. Τὴν ὡραιότητα.

Σταυρῷ κρεμάμενος, Λῃστὴς ὁ δίκαιος,
φωνήσας· Μνήσθητι, κἀμοῦ Φιλάνθρωπε,
τοῦ Παραδείσου παρευθύς,
οἰκήτωρ ἀναδέδεικται.
Τοῦτόν σοι προσάγοντες, ὡς μεσίτην εὐάκουστον,
Δέσποτα κραυγάζομεν·
μετανοίᾳ ἀπόπλυνον,
παντοίας ἁμαρτίας βοώντων,
Μνήσθητι καὶ ἡμῶν, ὡς μόνος πολυέλεος.

Θεοτοκίον

Σὲ τὴν μεσιτεύσασαν,
τὴν σωτηρίαν τοῦ γένους ἡμῶν,
ἀνυμνοῦμεν Θεοτόκε Παρθένε·
ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ,
ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος,
ἐλυτρώσατο ἡμᾶς,
ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Σταυρῷ προσηλωθείς, Ἰησοῦ πανοικτίρμον, τὴν πύλην τῆς Ἐδέμ, κεκλεισμένην ἀνθρώποις, σῷ αἵματι ἤνοιξας, καὶ Λῃστὴν τὸν εὐγνώμονα, πρῶτον ᾤκησας, τὸ Μνήσθητί μου ἐκ βάθους, σοὶ βοήσαντα, ᾧ ἐβεβαίωσας αὖθις, αἰτήματος πλήρωσιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Οὐ παύομαι Ἁγνή, ἁμαρτάνων ἀφόβως, ἀεὶ καταφρονῶν, πανταχοῦ παρουσίαν, Χριστοῦ τοῦ οἰκτίρμονος, Ὃν ἀεὶ καθικέτευε, ὡς ἐπίσταται, παντοιοτρόπως με σῶσαι, καθὼς ἔσωσεν, ἐν Γολγοθᾷ παραδόξως, Λῃστὴν την εὐγνώμονα.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος δ'.Ταχὺ προκατάλαβε.

Ὡς κλέπτης θεόσοφος, καὶ παντεχνήμων Λῃστά, τὰς πύλας διήνοιξας, τῆς κεκλεισμένης Ἐδέμ, ὡς κλεῖδα τὴν γλῶττάν σου, θέμενος τῷ Δεσπότῃ Μνήσθητί μου βοήσας, ὅταν εἰς Βασιλείαν, οὐρανῶν Σῶτερ ἔλθῃς· διὸ εἰς τὴν Παράδεισον, πρῶτος εἰσήνεξαι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὡς ἔχουσα Δέσποινα, τὴν παῤῥησίαν πολλήν, Χριστὸν καθικέτευσον ὑπὲρ τῶν πίστει τὴν σήν, αἰτούντων βοήθειαν, ὅπως τῆς μετανοίας, ὑπανοίξῃ τὰς πύλας, πλῆθος ἁμαρτημάτων, πατρικῶς παραβλέπων, καὶ σώσῃ ὡς Φιλάνθρωπος, τοὺς ἀνυμνοῦντάς σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν βροτῶν σωτηρίαν πάντων ποθῶν, ἐσαρκώθης φιλάνθρωπε Ἰησοῦ, καὶ πάθη ὑπέμεινας, δι' ἡμᾶς τοὺς λυποῦντάς σε, ἐν Σταυρῷ φανερώσας, ἀγάπης τὸ μέγεθος, δι' ἧς τρόποις ποικίλοις, χαρίζῃ Παράδεισον, πρῶτον ἀναδείξας, πολιστὴν τούτου Σῶτερ, Ληστὴν τὸν εὐγνώμονα, Μνήσθητί μου βοήσαντα, οὗ τῆς χάριτος ἅπαντας, ἀξίωσον ἡμᾶς τοὺς πιστῶς, προσκυνοῦντας πάθη σου σωτήρια, καὶ δοξάζοντας πόθῳ,
τὸ μέγα σου ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὦ Πανύμνητε Μῆτερ τοῦ Ἰησοῦ, ἐγγυήτρια πάντων ἁμαρτωλῶν, μὴ παύσῃ τὰς χεῖράς σου, ἀνυψοῦν εἰς παράκλησιν, ὑπὲρ ὅσοι αἰτοῦνται, πταισμάτων τὴν ἄφεσιν, καὶ διόρθωσιν βίου, συμφώνως θελήματι, τοῦ Σταυροῦ τῷ ξύλῳ, σωτηρίαν διδόντος, καὶ σώσαντος αὔθωρον, τὸν Ληστὴν ἐκβοήσαντα, Μνήσθητί μου φιλάνθρωπε, καὶ τοῦτον πολιστὴν εὐτυχῆ, Παραδείσου δείξαντος τὸν πρώτιστον, καὶ ἐσχάτης τῆς ὥρας,
ἐργάτην θεόμισθον.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.

Προκείμενον· Ἠγάπησας, Δέσποτα, δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.
Στίχ. *Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου.*

Εὐαγγέλιον
Ἐκ τοῦ κατὰ Ματθαῖον
(27,33-44)

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντες οἱ στρατιῶται εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστιν Κρανίου Τόπος λεγόμενος, ἔδωκαν τῷ Ἰησοῦ πιεῖν οἶνον μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἠθέλησεν πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον, καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες, Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν, εἰ υἱὸς εἶ τοῦ Θεοῦ, καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς Ἰσραήλ ἐστιν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν ἐπ᾽ αὐτόν. Πέποιθεν ἐπὶ τὸν Θεόν, ῥυσάσθω νῦν εἰ θέλει αὐτόν. Εἶπεν γὰρ ὅτι Θεοῦ εἰμι υἱός. Τὸ δ᾽ αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες σὺν αὐτῷ ὠνείδιζον αὐτόν.

Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα.

Δέσποτα πρεσβείαις, εὐγνώμονος Λῃστοῦ σου,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*
στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β΄.

Ὡς καθ’ ἑκάστην πολλά, ἑκουσίως ἁμαρτάνοντες οἱ τάλανες,
ἐν μετανοίᾳ εἰλικρινεῖ τῷ Σταυρῷ σου προσπίπτομεν, τὸ Μνήσθητί μου Κύριε, ἐκβοῶντες τοῦ Δικαίου Λῃστοῦ, οὗπερ συγκληρονόμους ἀνάδειξον τοῦ Παραδείσου, κατὰ τὸ μέγα σου ἔλεος, Σῶτερ Φιλάνθρωπε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

**Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*«Εὐγνώμονος Ληστοῦ τό, Μνήσθητι, βοῶμεν. Ἀ(θανάσιος)"*
Ὠιδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Εὐγνώμονα ᾄσματα, σοὶ τῷ εὐγνώμονι ᾄδομεν, Ληστῇ τὸν Παράδεισον, κληρονομήσαντι, ἑνὶ ῥήματι, λεχθέντι πρὸς Δεσπότην, Ὃς πάραυτα δέδεκται, σοῦ τὴν μετάνοιαν.

Ὑπέρθεσις γέγονεν, τῆς τοῦ Κριτοῦ ἀποφάσεως, χειρόγραφον σχίσαντος, τῆς καταδίκης σου, ὅτε εἴρηκας, Ληστὰ τὸ Μνήσθητί μου, καὶ χάριν ἀπείληφας, νοῦν καταπλήσσουσαν.

Γοργῶς ἐξεφώνησας, τὸ Μνήσθητί μου Φιλάνθρωπε, ἐν ξύλῳ κρεμάμενος, καὶ θεασάμενος, τῆς θεότητος, Αὐτοῦ τὴν δυναστείαν, διὸ καὶ αὐθήμερον, εὗρες Παράδεισον.

Θεοτοκίον

Νικώμενοι Δέσποινα, ὑπὸ παθῶν οἱ ταλαίπωροι, εὐχῶν σου δεόμεθα, τῶν μητρικῶν πρὸς Χριστόν, ἵνα δύναμιν, παράσχῃ Παρακλήτου, καὶ οὕτω βαδίσωμεν, τρίβον σωτήριον.

Ὠιδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ὢ! βάθους Χριστοῦ φιλανθρωπίας, ὤ! ὕψους ἀγάπης θεϊκῆς, ὤ! ὑπερλόγου πράξεως, δι' ἧς Ληστὴν ἀπέδειξε, πρῶτον Ἐδὲμ συλήσαντα, κλεῖδα βαλόντα τό, Μνήσθητι.

Μανία ἐθλάσθη διαβόλου, ἐν Τόπῳ Κρανίου θαυμαστῶς, ὅτε Ληστὴς ἐκ φάρυγγος, τούτου ἀπρὶξ ἐξήρπασται, καὶ ᾤκησεν Παράδεισον, ἀντὶ κολάσεως πέταυρα.

Ὁ νόμος τῆς θείας σου ἀγάπης, τὰ φύσεως πάντα καταργεῖ, Σωτὴρ φιλανθρωπότατε, ἐργαζομένη θαύματα, καὶ ἐν ῥιπῇ Παράδεισον, μετανοοῦσι χαρίζεται.

Θεοτοκίον

Νοός μου τὸ ἄστατον Παρθένε, τῇ μνήμῃ συγκράτει Ἰησοῦ, καὶ τὴν πικρίαν γλύκανον, ἁμαρτιῶν τὴν δύσοιστον, εὐχὴν τὴν ἀδιάλειπτον, ἐν τῇ καρδίᾳ μου σπείρουσα.

Κάθισμα .Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Ἐν Σταυρῷ ὁ Δεσπότης πολίτην ἔδειξε,
τὸν Λῃστὴν Παραδείσου, εἰπόντα· Μνήσθητι,
κἀμοῦ φιλάνθρωπε Σωτὴρ καὶ μὴ παρίδῃς με,
ἐν Βασιλείᾳ σου ἐλθών,
τὸν ἁμαρτήσαντα πολλά,
καὶ νῦν σοι μετανοοῦντα·
διὸ ἡ πύλη ἠνοίγη,
αὐτῷ Ἐδὲμ καθὼς ᾐτήσατο.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Κατακρίσεως ὄντα, Παρθένε ἄξιον,
ἐκ πολλῶν μου σφαλμάτων,
εὐχαῖς σου λύτρωσαι,
ἐκδυσωποῦσα μητρικῶς τὸν Πολυέλεον,
Ὃς Λῃστὴν ἐκ Γολγοθᾶ,
οἰκιστὴν ἐν τῇ Ἐδέμ,
εἰσήγαγε παραδόξως
καὶ τὸ χειρόγραφον σχίσας,
Ἀδὰμ προπάτορος ὡς εὔσπλαγχνος.

Ὠιδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Οὐ καθὼς ὁ κόσμος κρίνεις Χριστέ, ἀλλὰ τῇ ἀγάπῃ νυττόμενος, τὰς ἁμαρτίας, παραβλέπεις πατρικῶς, ὡς τοῦ Λῃστοῦ ὃν ἔσωσας, καὶ Ἐδὲμ συλήσαντα ἔδειξας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σκάνδαλον ὑπάρχει ὁ σὸς Σταυρός, Ἰουδαίοις εὔσπλαγχνε Κύριε, μηδόλως γνοῦσιν, ὅτι πόρνας καὶ λῃστάς, μετανοοῦντας δείκνυσι, τοῦ σοῦ Παραδείσου οἰκήτορας.
Λόγοις ὡμολόγησεν ὁ Λῃστής, ἐν σταυρῷ κρεμάμενος Κύριε, τὰς ἁμαρτίας, διελέγξας θαυμαστῶς, τὸν σὺν αὐτῷ κρεμάμενον, καὶ σὲ ἀναιδῶς βλασφημήσαντα.

Θεοτοκίον

Ἤλγησας κρεμάμενον ἐν Σταυρῷ, βλέπουσα Υἱόν σου Πανάμωμε, Ὃν ὡς κακοῦργον, ἐθεώρει Ἰσραήλ, ὁ δὲ Λῃστὴς ἐκήρυξεν, Βασιλέα πάσης τῆς κτίσεως.

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Σταυρός σοι ἐγένετο, θεογνωσίας πρόξενος, Δίκαιε Λῃστὰ καὶ θεολόγε, καὶ Παραδείσου, πρῶτον οἰκήτορα, ἔδειξέ σε ἔνθα ὁ Χριστός, σὺν Αὐτῷ εἰσήγαγε, σοῦ βραβεύων μετάνοιαν.

Τὸ ξύλον παραίτιον, Ἀδὰμ θανάτου γέγονεν, σοὶ δὲ ὁ Σταυρὸς Λῃστὰ θεόφρον, ζωῆς αἰτία, ὑπῆρξεν αὔθωρος, καὶ ἀθανασίας ἀφορμή, ἣν Χριστὸς χαρίζεται, τοῖς δεικνύσι μετάνοιαν.

Οὐδόλως ὁ Κύριος, τὰς πράξεις τῆς λῃστείας σου, εἴληφεν ὑπ' ὄψιν ἀλλὰ πάσας, τῇ μετανοίᾳ, εὐθὺς ἐξήλειψε, καὶ ὁμολογίας σου Λῃστά, γνοὺς τὴν εἰλικρίνειαν, τὴν Ἐδέμ σοι ἐβράβευσεν.

Θεοτοκίον

Ὑδάτων ὁ Κύριος, ἐν τῷ Σταυρῷ κρεμάμενος, καὶ Διψῶ βοήσας σωτηρίαν, γένους βροτείου, τὴν δῖψαν ἔδειξεν, ἧς περ ἀντιμίσθως ὁ Λῃστής, Θεοτόκε γέγονε, πρῶτος πάντων ὁ δίκαιος.

Ὠιδὴ ϛ'. Τὴν θείαν ταύτην.

Τὸ βάθος γνοὺς ὁ Φιλάνθρωπος, καὶ τῆς εἰλικρινείας τὸ μέγεθος, δι' ὧν ἐβόησας, Ληστὰ τό, Μνήσθητι Κύριε, οἰκήτορά σε πρῶτον Ἐδὲμ ἀνέδειξεν.

Ὁδὸν πεπόρευσαι ἄγνωστον, Ληστὰ τὴν πρὸς Παράδεισον ἄγουσαν, ἐν ᾗ ὁ Κύριος, ὡς συνοδίτην παρέλαβε, καὶ πύλην κεκλεισμένην τούτου σοι ἤνοιξεν.

Μνησθεὶς ἀμέσως ὁ Κύριος, τῆς σῆς ἐν μετανοίᾳ αἰτήσεως, εἰς τὰ οὐράνια, Αὐτοῦ βασίλεια ἤγαγε, Ληστὰ ἐπιβραβεύων, ὁμολογίαν σου.

Θεοτοκίον

Νικᾷ θυμὸν δικαιότατον, Υἱοῦ σου τὸ φιλάνθρωπον Δέσποινα, καὶ ἀναδείκνυσι, τῆς Βασιλείας οἰκήτορας, λῃστὰς ἀπαρνουμένους βίον τὸν πρότερον.

Κοντάκιον. Ἦχος δ'.Ὁ ὑψωθείς.

Τῇ πολυχώρῳ τοῦ Δεσπότου παλάμῃ,
ἥτις Παράδεισος καλεῖται εἰσήχθης,
Ληστὰ εἰπὼν τό, Μνήσθητι κρεμάμενος σταυρῷ,
γεγονὼς διδάσκαλος μετανοίας βαθείας,
τοῖς ὁδὸν βαδίζουσι σκοτεινῆς ἁμαρτίας,
καὶ ἐπιστρέφουσι Πατρὶ τῷ ἀγαθῷ,
τῷ χορηγοῦντι,
εὐσπλάγχνως συγχώρησιν

**Ὁ Οἶκος**

Ὁ τὸν ἄνθρωπον πλάσας Φιλάνθρωπε,
ἐξ ἀπείρου καὶ θείας ἀγάπης σου,
καὶ πεσόντα δεινῶς ἐξανέστησας,
ἀναλαβὼν τὴν ἔνσαρκον οἰκονομίαν σου,

ἀπερίγραπτον δέδειχας ὑπόδειγμα,
τῆς ἀμέτρου συγκαταβάσεώς σου,
συγχωρήσας τελώνας, ἁμαρτωλούς, πόρνας καὶ λῃστάς,
ὡς τὸν ἐν Σταυρῷ ὁμολογήσαντά σου τὴν θεότητα,
καὶ βοήσαντα ἐν συντριβῇ ψυχῆς
τό, Μνήσθητί μου Κύριε.
Ὅθεν καὶ ἡμεῖς εὐελπιστοῦντες διὰ τὴν ἡμῶν σωτηρίαν,
δοξάζομέν σου τὴν φιλάνθρωπον ἀγαθότητα,
καὶ προσκυνοῦμέν σε,
τὸν χορηγοῦντα,
εὐσπλάγχνως συγχώρησιν.

Τὸ Συναξάριον

**Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνὸς Ὀκτωβρίου, Μνήμη τοῦ ἐν τῷ Σταυρῷ μετανοήσαντος δικαίου καὶ εὐγνώμονος Λῃστοῦ.**

*Στίχοι.*
*Καὶ ἐν σταυρῷ λῃστὴς Λῃστὴς παραμένει,*
*Τῷ, Μνήσθητί μου, Παράδεισον λῃστεύων.*
*Ἐδὲμ οἰκήτωρ πρῶτος δίκαιος Λῃστὴς πέφηνεν.*

*Ὑπόμνημα*

Τοῦ πολυελέου καὶ πάντας ἀνθρώπους θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν Γολγοθᾷ σταυρῷ ὑπὸ τῶν παρανόμων Ἰουδαίων ἀδίκως προσηλωθέντος, συνεσταυρώθησαν Αὐτῷ, ὡς κατὰ λεπτὸν ἡ εὐαγγελικὴ διήγησις ἱστορεῖ, δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων, κατὰ τὸ ῥηθὲν ὑπὸ Ἠσαΐου τοῦ προφήτου «ἐν τοῖς ἀνόμοις ἐλογίσθη». Τότε ὁ ἐξ ἀριστερῶν κακοῦργος, λοιδορῶν ἀναισχύντως τὸν φιλάνθρωπον Κύριον ἔλεγεν· «Εἰ σὺ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς», ὃν ὁ δεξιόθεν κρεμάμενος ἤλεγξεν σωφρόνως εἰπών· «Οὐ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν ἐπράξαμεν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀπολαμβάνομεν. Οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε» καὶ στραφεὶς πρὸς τὸν Δεσπότην θεολογήσας προσέθετο ἐν μετανοίᾳ «Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου». Τούτου τὴν βαθεῖαν μετάνοιαν καὶ ἐξομολόγησιν ὁ φιλάνθρωπος Κύριος δεξάμενος ἐβεβαίωσεν αὐτὸν εἰπών· «Ἀμὴν λέγω σοι· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ». Οὕτως ὁ μακάριος ἠξιώθη τυχεῖν τῆς εἰσόδου τοῦ κεκλεισμένου διὰ τὴν παράβασιν τοῦ προπάτορος Ἀδὰμ Παραδείσου πρῶτος αὐτὸς πάντων τῶν Ἁγίων, συνεισελθὼν εἰς τὴν Ἐδὲμ τῷ Κυρίῳ, βαλὼν σοφῶς ὡς κλεῖδα τὴν ὁμολογίαν τῆς μετανοίας, αἰώνιον καταστὰς παράδειγμα αὐθώρου σωτηρίας πᾶσι τοῖς ἐν ἀληθείᾳ ἐξομολογουμένοις τὰς ἁμαρτίας ἐν συντριβῇ καρδίας καὶ αἰτουμένοις τὸ ἔλεος τῆς ἀμετρήτου φιλανθρωπίας τοῦ δι' ἡμᾶς σταυρωθέντος καὶ ἐκχύσαντος τὸ τίμιον Αἷμα Αὐτοῦ Κυρίου καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων Πρόβου, Ταράχου, καὶ Ἀνδρονίκου.**

*Στίχοι.*

*Ξίφει Τάραχος, Ἀνδρόνικος καὶ Πρόβος,*
*Ἤιραντο νίκην, γῆς προβάντες ταράχου.*
*Τμηθῇ δωδεκάτῃ, Πρόβος, Ἀνδρόνικος, Τάραχός τε.*

**Μνήμη τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Δομνίνης.**

*Στίχοι.*

*Μέλη Δομνίνα καί περ ἐξαρθρουμένη,*
*Οὐκ ἦν ἀληθῆ πίστιν ἐξαρνουμένη.*

**Μνήμη τῆς ἁγίας παρθενομάρτυρος Ἀναστασίας.**

*Στίχοι.*

*Ἡγεῖτο λαιμοῦ τὴν τομὴν ἀσπασίαν,*
*Ἡ καλλίνικος μάρτυς Ἀναστασία.*

**Οἱ ἅγιοι ἑβδομήκοντα Μάρτυρες, ξίφει τελειοῦνται.**

*Στίχοι.*
*Τέθνηκεν ἀνδρῶν ἑβδομηκοντὰς ξίφει,*
*Θνῄσκειν ἑτοίμη, εἰ δέοι, καὶ πολλάκις.*

**Ὁ ἅγιος Θεόδοτος, ἐπίσκοπος Ἐφέσου, ἐν εἰρήνῃ τελειοῦται.**

*Στίχοι.*
*Ὁ Θεόδοτος γήϊνον λιπὼν θρόνον,*
*Τὸν λαμπρὸν εὗρε τῆς ἄνω δόξης θρόνον.*

**Οἱ ἅγιοι μάρτυρες Μαλεφθά, Ἀνθία, Ἰουβεντῖνος, Μάξιμος, Ἀνδρόμαχος καὶ Διόδωρος, ξίφει καὶ πυρὶ τελειοῦνται.**

*Στίχοι.*
*Οὐ μαλθακόν τι Μαλφεθὰ βλέπειν ἔχει,*
*Τόξον κατ᾽ αὐτῆς εὐτόνως τεταμένον.*

*Εἰς βοῦν ἀπανθεῖς ἔμπυρον βεβλημένη,*
*Ἐν οὐρανῷ δὲ λαμπρὸν ἀνθεῖς, Ἀνθία.*

*Ἰουβεντῖνος Μαξίμῳ τμηθεὶς ἅμα,*
*Χορῷ συνήφθη Μαρτύρων σὺν Μαξίμῳ.*

*Μάχου πρὸς ἐχθρούς, Ἀνδρόμαχε, Κυρίου,*
*Κἂν τοῦ πυρὸς σύνθνῃσκε τῷ Διοδώρῳ.*

**Ὁ ἅγιος Ἰάσων, ἐπίσκοπος Δαμασκοῦ, ἐν εἰρήνῃ τελειοῦται.**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Στίχοι.*
*Παθῶν Ἰάσων τὰς βάρεις καταστρέφει,*
*Πύργους ἐγείρας ἀρετῶν πρὸ τοῦ τέλους.*

**Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοσεβίου τοῦ Ἀρσινοΐτου, τοῦ ἐν Κύπρῳ.**

*Στίχοι.*
*Τὸν Θεὸν Θεοσέβιος καλῶς σέβων,*
*Θεοσεβῶς ἤσκησεν ἐν νήσῳ Κύπρου.*

**Μνήμη τοῦ ὁσίου Ἐπικτήτου τοῦ θαυματουργοῦ, τοῦ ἐν Κύπρῳ.**

*Στίχοι.*
*Εἴληφεν Ἐπίκτητος ἐκ Θεοῦ κτῆμα,*
*Τὴν παμπόθητον Δεσπότου Βασιλείαν.*

**Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Συμεὼν τοῦ Νέου Θεολόγου.**

*Στίχοι.*
*Πρῴην μὲν εἶχες γλῶτταν ἀντὶ τῆς βίβλου,*
*Γλώττης δὲ ἀντὶ σὴν ἔχεις ἤδη βίβλον.*
*Βῇ δύο καὶ δεκάτῃ Συμεὼν πόλον ἀστερόοντα.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων Ἀμφιλοχίου, Ταρασίου καὶ Μακαρίου τῆς Γλουσίτσα τῆς Ῥωσσίας.**

*Στίχοι.*
*Τρισοσιακὴ ἁγίων συνοδία,*
*Ἐν Γλουσίτσᾳ ἔλαμψεν ἁγίοις ἔργοις.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Μνήμη τοῦ ἁγίου νέου ἱερομάρτυρος Ἰουβεναλίου, ἀρχιεπισκόπου Ριαζάν.**

*Στίχοι.*
*Ὦ Ἰουβενάλιε, ὡς μόσχος θεῖος,*
*Τέθυσαι διὰ Χριστόν, Οὗ θύτης ἦσθα.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἡ μετάνοια, ἐπλήρωσε καρδίαν σου, ὡς ἐθεώρησας, ἡλίου τὸν σκοτασμόν, καὶ γῆς τὸν παράδοξον σεισμὸν μακάριε, ὅθεν ἔγνωκας, Κυρίου τὴν θεότητα, ἣν ἠρνήσαντο οἱ πλάνοι.

Συσταυρούμενος, Δεσπότῃ πάσης κτίσεως, Ληστὰ θεόσοφε, ἐννόησας ἐκ ψυχῆς, Αὐτοῦ ἀθωότητα διὸ διήλεγξας, βλασφημήσαντα, ἀριστερόθεν σύντροφον, καὶ κριτὴν τῆς ἀδικίας.

Θῦμα γέγονας, Ληστὰ τῆς μετανοίας σου, πανευτυχέστατον, δι' ἣν εὐθὺς ὁ Χριστός, παρέσχε σοι ἄφεσιν, τῶν πεπραγμένων δεινῶν, καὶ δεδώρηται, τῆς Βασιλείας εἴσοδον, σοὶ πρωτίστως τῶν Ἁγίων.

Θεοτοκίον

Ἤχθη Δέσποινα, ὁ Κύριος πρὸς θάνατον, καθάπερ γέγραπται, προφητικῶς ὡς ἀμνός, χαρίσαθαι ἄφεσιν, τῷ πεπτωκότι Ἀδάμ, οὗ ἀπόγονον, πρῶτον Ληστὴν διέσωσε, τὸν εὐγνώμονα δικαίως.

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.

Τὴν φιλανθρωπίαν τοῦ Δεσπότου, δι' ἧς καὶ Ληστήν εἰς τὸν Παράδεισον, αὔθωρον εἰσήγαγεν, γνόντες ἀποθώμεθα, τὴν γνώμην

τὴν ἀμφίβολον, ὅτι χαρίσεται, τῶν πταισμάτων, χρέος τὸ βαρύτατον, καὶ ἡμῖν εἰ μετάνοιαν δείξομεν.
Ἴδωμεν πανάπειρον ἀγάπην, δι᾽ ἣν ὁ Χριστὸς σταυρῷ προσήλωται, καὶ θανὼν ὡς ἄνθρωπος, τὴν ζωὴν δεδώρηται, ἡμῖν τοῖς ἁμαρτάνουσι, καὶ τοῦτον θλίβουσι, καθ᾽ ἑκάστην, θέλων τὴν μετάνοιαν, ἵνα δῷ Παραδείσου τὴν οἴκησιν.

Βίον λῃστρικὸν πλήρη αἱμάτων, Λῃστὴς ὁ εὐγνώμων μιμνῃσκόμενος, ἐν Σταυρῷ μετάνοιαν, πλήρη ἐπεδείξατο, καὶ ἑαυτὸν κατέκρινε δικαίως πάσχοντα, τῷ Κυρίῳ, Μνήσθητί μου ἔκραξεν, ὁ λῃστὰς διασώζων καὶ σῶσόν με.

## Θεοτοκίον

Ὅτε ὁ Υἱός σου Θεομῆτορ, σταυρῷ τοὺς ἀνθρώπους ἀπελύτρωσε, τότε ἐδικαίωσε, καὶ Λῃστὴν εὐγνώμονα, τὴν αἴτησιν δεξάμενος αὐτοῦ καὶ εἴρηκεν, Ἀμήν σοι λέγω θύραςΠαραδείσου, σήμερον ἀνοίγω, καὶ ἔνδον σε εἰσάξω.

## Ὠιδὴ θ'. Ἅπας γηγενής.

Ὤφθη Γολγοθᾶς, Χριστὲ σταυρωθέντος σου, ἀνταλλακτήριον, θείῳ γάρ σου αἵματι, γένος ἀνθρώπων, φθορᾶς ἠγόρασας, καὶ ῥοιζηδὸν ἐκαίνισας, ἡμῶν τὸ φύραμα, ἀνασπάσας, τοῦτο ἐκ τοῦ φάρυγγος, τοῦ ἀρχαίου ἐχθροῦ Πολυέλεε.

Μέγα σου Χριστέ! τὸ ἄπειρον ἔλεος, καὶ ἀπερίγραπτον, ὅτι τῇ ἀγάπῃ σου, λῃστὰς καὶ πόρνας, μετανοοῦντάς σοι, σῴζεις καὶ εἰς Παράδεισον, τούτους εἰσάγεις εὐθύς, διαγράφων, χρέη βίου πρότερον, ἐν σταγόνι μιᾷ θείου αἵματος.

Ἔδραμε Λῃστής, ὀπίσω σου Κύριε, πρὸς τὸν Παράδεισον, ὡς ἀρνίον ἄκακον, ὁ ἀτιθάσως, πρῴην πλανώμενος, καὶ θεωρήσας ἅπαντα, τοῦ Παραδείσου τερπνά, ἀνεβόα· τί μοι ἀνταπέδωκας; ὑπὲρ νοῦν γὰρ Σωτὴρ τὰ ὁρώμενα.

Νῦν κατατρυφῶν, Ληστὰ δικαιότατε, τῶν ἀγαθῶν τῆς Ἐδέμ, μνήσθητι τῶν ὅσοι σου, τὴν θείαν μνήμην, πανηγυρίζομεν, καὶ πρὸς ἐχθρὸν παλαίομεν τὸν πολυμήχανον, οὗ συντρίψας, κεφαλὴν ἐλῄστευσας, μετανοίᾳ Χριστοῦ τὸν Παράδεισον.

Θεοτοκίον

Ἅπας μου Ἁγνή, ὁ βίος ἠμαύρωται, ἀτόποις πράξεσι, καὶ νῦν ἡ συνείδησις, σφοδρῶς ἐλέγχει, καταδικάζουσα, ὅσα ἀφόβως ἥμαρτον, διὸ αἰτοῦμαί σου, μετανοίας, χάρισαί μοι δάκρυα, τοῦ Ληστοῦ μιμητήν με δεικνύουσα.

Ἐξαποστειλάριον
Ἦχος Β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὢ! τῆς φιλανθρωπίας σου καὶ ἀπείρου ἀγάπης, δι' ἣν συγκαταβέβηκας, τοῖς ἀνθρώποις Σωτήρ μου, ὅπως ἡμᾶς συναγάγῃς, εἰς τὴν σὴν Βασιλείαν, ἧς πρῶτον κατηξίωσας, τὸν Ληστὴν ἐν Κρανίῳ, ὅλῃ ψυχῇ, ἐκβοήσαντά σοι τό, Μνήσθητί μου, καὶ τοῦτον τύπον ἔδειξας, μετανοίας γνησίας.

Θεοτοκίον, ὅμοιον.

Πολλὰ Παρθένε Πάναγνε, καθ' ἑκάστην ἡμέραν, πράττομεν ἁμαρτήματα, καὶ λυποῦμεν Υἱόν σου, τὸν δι' ἡμᾶς σταυρωθέντα, ἐξ ἀπείρου ἀγάπης, Ὃν ἐκτενῶς ἱκέτευε, ἵνα δῷ ἡμῖν πᾶσιν, χρόνον ζωῆς, ὅπως μετανοίᾳ ἀξιωθῶμεν, τῆς σωτηρίας Δέσποινα, ὡς Ληστὴς ὁ εὐγνώμων.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ'. Ὢ! τοῦ παραδόξου θαύματος.

Ὢ! τοῦ παραδόξου θαύματος! ἐν Γολγοθᾷ ὁ Χριστός, τὸν Ληστὴν ἐδικαίωσεν, ὡς θεολογήσαντα, καὶ μετάνοιαν δείξαντα, τὴν ἀκροτάτην,

καὶ ζωῆς πρόξενον, ὑπὲρ ἁπάσας, πράξεις αἷς ἄνθρωπος, Θεῷ ἐντέταλται,
πράττειν ἵνα ἄφεσιν ἁμαρτιῶν, εὕρῃ καὶ τὸ ἔλεος, Αὐτοῦ κληρώσηται.

Πῶς Βασιλεία λῃστεύεται, τῶν οὐρανῶν ἐν ῥιπῇ, ὁ Λῃστὴς ἡμῖν ἔδειξε, μόνον ἑνὶ ῥήματι, Μνήσθητί μου φθεγξάμενος, πρὸς τὸν Δεσπότην, Ὃν ὡμολόγησε, Θεὸν ἁπάντων, ἀδίκως θνήξαντα, καὶ ἀρνησάμενος, μετανοίᾳ ἅπαντα τὰ λῃστρικά, πρῶτος τὸν Παράδεισον, ἐκληρονόμησεν.

Ὁμολογητὴς, προσήλυτος, μάρτυς, εὐγνώμων φανείς, ὁ Λῃστὴς ἐν τῷ αἵματι, τοῦ Χριστοῦ λουσάμενος, εὐφυῶς τὸν Παράδεισον, τῇ μετανοίᾳ ἐξηγοράσατο, Θεὸν γνωρίσας, Χριστὸν σταυρούμενον. Καὶ ὃν εἰς θάνατον, Ἰουδαῖοι ἔστειλαν, αὐτὸς ζωήν, εὕρατο αἰώνιον, καὶ ἀκατάληκτον.

Τῇ κλεπτικῇ ἐληΐσατο, καλῶς Λῃστὴς τὴν ζωήν, καὶ εὐστόχως χρησάμενος, ἑνὶ λόγῳ ἥρπασε, Βασιλείαν οὐράνιον. Ὃν μιμηθέντες, βαθέως κράξωμεν, πρὸς τὸν Δεσπότην· Μνήσθητι Κύριε, τῶν δεομένων σου, καὶ παράσχου ἄφεσιν ἁμαρτιῶν, ὅπως ἐπιτύχωμεν, τῆς Βασιλείας σου.

Δόξα. Ἦχος πλ.α'.

Κύριε φιλάνθρωπε Ἰησοῦ, τῇ θεϊκῇ ἀνοχῇ σου ἀναισχύντως καταχρώμενοι, οὐκ ἐπαυσάμεθα ἐργάζεσθαι τὰ πονηρὰ καὶ αἰσχρά, ἀλλὰ καὶ ἔτι ταῖς πολυτρόποις ἁμαρτίαις ἐμπλέκεσθαι ἀνοήτως συνεχίζομεν, ἐνώπιον τῶν ἀλαθήτων σου ὀφθαλμῶν. Ὅθεν σύ, μόνε ἀγαθὲ καὶ ἐλεῆμον, ὥσπερ τὸν δίκαιον καὶ εὐγνώμονα Λῃστήν, ἐν Γολγοθᾷ μετανοήσαντα, βοήθησον καὶ σῶσον ἡμᾶς. Μὴ ἀποῤῥίψῃς βδελυξάμενος ὑπεράγαθε, τοὺς ἀχρείους οἰκέτας σου, προσπίπτοντας τῷ Σταυρῷ σου, καὶ ἐκ ψυχῆς κραυγάζοντας· Μνήσθητι καὶ ἡμῶν τῶν ἀναξίων Σωτήρ, ἐν τῇ ἐπουρανίῳ Βασιλείᾳ σου.

Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἀῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

**Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀναγνώσματα τὰ κάτωθι**

ΑΠΟΣΤΟΛΟΣ
Πρὸς Τιμόθεον Α΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα
(1, 12-17)

Τέκνον Τιμόθεε, Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. Ἀλλὰ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, ὑπερεπλεόνασεν δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΑΓΓΕΛΙΟΝ
Κατὰ Λουκᾶν
(24, 32-46)

Τῷ καιρῷ ἐκείνῳ, ἤγοντο καὶ ἕτεροι δύο κακοῦργοι σὺν τῷ Ἰησοῦ ἀναιρεθῆναι. Καὶ ὅτε ἦλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγεν· Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον κλῆρον. Καὶ είστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες λέγοντες· Ἄλλους ἔσωσεν, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς τοῦ Θεοῦ ὁ ἐκλεκτός. Ἐνέπαιξαν δὲ αὐτῷ καὶ οἱ στρατιῶται

προσερχόμενοι ὄξος προσφέροντες αὐτῷ καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἐπιγραφὴ ἐπ᾿ αὐτῷ, Ὁ βασιλεὺς τῶν Ἰουδαίων οὗτος. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων, Οὐχὶ σὺ εἶ ὁ Χριστός; σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπιτιμῶν αὐτῷ ἔφη· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. Καὶ ἔλεγεν τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμήν σοι λέγω, σήμερον μετ᾿ ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ. Καὶ ἦν ἤδη ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ᾿ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης τοῦ ἡλίου ἐκλείποντος, ἐσχίσθη δὲ τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπεν· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου. Τοῦτο δὲ εἰπὼν ἐξέπνευσεν.

*Μεγαλυνάρια*

Χαίροις ὁ ἐξαίφνης ἀπὸ λῃστοῦ, ὁ πρῶτος πολίτης, Παραδείσου Λῃστὰ δειχθείς, καὶ τοῖς σὲ τιμῶσιν, μετάνοιαν παράσχου, ἣν ἐν Κρανίου τόπῳ, Χριστῷ ἐπέδειξας.

Μνήσθητι ὦ Δέσποτα καὶ ἡμῶν, τῶν ἡμαρτηκότων, ὡς ἐμνήσθης ἐπὶ Σταυροῦ, Λῃστοῦ τοῦ δικαίου, καὶ πύλας Παραδείσου, ἡμῖν τῇ μετανοίᾳ, ὡς οἶδας ἄνοιξον.

Φύλαττε Μονήν σου τὴν Ἱεράν, καὶ τῆς μετανοίας, ἐργαστήριον διαρκές, δεῖξον σαῖς πρεσβείαις, Λῃστὰ πρὸς τὸν Δεσπότην, Ὧι ἐν τῷ Παραδείσῳ, πρῶτος συνώδευσας.

Στίχοι

*Τό, Μνήσθητι, Δέσποτα, Λῃστοῦ βοῶμεν, Οἱ ἐν ἀπείροις πταίσμασι πεπτωκότες.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ